# BYZANTINA XPONIKA

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

# ВИЗАНТІЙСКІЙ ВРЕМЕННИКЪ

ИЗДАВАЕМЫЙ

ПРИ

ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ

ПОДЪ РЕДАКЦІЕЮ


**В. Г. Васильевскаго** и **В. Э. Регеля**

Ординарнаго Академика. Пр.-Доц. Спб. Университета.


## ТОМЪ II.

Съ 9 рисунками.


САНКТПЕТЕРБУРГЪ, 1895.

КОММИССІОНЕРЪ:

С.-Петербургъ. К. Л. Риккеръ, Невскій пр. 14. | Leipzig. C. Ricker, Königsberger Str. 20.

MG 1.2

DEC 8 1900
LIBRARY

A. C. Coolidge

# ОТДѢЛЪ I.

## 5.

## Синодальное постановленіе Константинопольскаго патріарха Харитона (1177—1178 г.) о третьемъ бракѣ, редактированное Ѳеодоромъ Вальсамономъ.

Все, что вышло изъ-подъ пера великаго греческаго канониста XII вѣка Ѳеодора Вальсамона, безъ сомнѣнія, должно имѣть особенный интересъ для ученыхъ канонистовъ нашего времени. Списокъ его сочиненій, извѣстныхъ по разнымъ печатнымъ изданіямъ, увеличивается теперь еще однимъ, доселѣ неизданнымъ сочиненіемъ—трактатомъ о третьемъ бракѣ [1]). Это собственно оффиціальный документъ, именно: синодальное постановленіе патріарха Харитона, редактированное Вальсамономъ по должности хартофилакса Великой церкви. Но кто знаетъ этого хартофилакса, какъ авторизованнаго толкователя каноническаго кодекса восточной церкви, тотъ не можетъ сомнѣваться, что ему принадлежитъ не только литературная форма издаваемаго синодальнаго акта, но и все его содержаніе: не патріархъ съ своимъ синодомъ, а его хартофилаксъ былъ настоящимъ рѣшителемъ вопроса, составлявшаго предметъ синодальныхъ разсужденій. Вопросъ предложенъ былъ Аѳинскимъ митрополитомъ Николаемъ и состоялъ въ слѣдующемъ: родственникъ названнаго митрополита, по имени Михаилъ, былъ разъ обрученъ по церковному обряду съ одной дѣвицей, но послѣдняя умерла до совершенія надъ обрученными брачнаго вѣнчанія. По тогдашнимъ византійскимъ законамъ, именно по новеллѣ Алексѣя

1) Издается по рукописи Московской синодальной библіотеки 1687 г. № 33, л. 75 об.—77.

Комнина 1084 года, сравнявшей церковное обрученіе съ бракомъ [1]), смерть невѣсты была для Михаила то же, что вдовство послѣ перваго брака. За этимъ законнымъ вдовствомъ вскорѣ послѣдовало дѣйствительное, послѣ котораго Михаилъ, какъ человѣкъ еще молодой, желалъ вступить въ новый бракъ. Но не будетъ ли это уже *третій* бракъ, съ церковной точки зрѣнія предосудительный?—По этому вопросу въ синодѣ прежде всего прочитанъ былъ длинный отрывокъ изъ такъ называемаго «тома соединенія» (τόμος ἑνώσεως), изданнаго въ 920 году по поводу раскола въ греческой церкви, произведеннаго четвертымъ бракомъ императора Льва Мудраго. Въ этомъ «томѣ», безусловно запретившемъ четвертый бракъ, о третьемъ бракѣ дано (и теперь прочитано въ синодѣ) такое постановленіе: кто овдовѣетъ послѣ второго брака, не достигнувъ 40 лѣтняго возраста и не имѣя дѣтей отъ прежнихъ браковъ, тому дозволяется вступить въ третій бракъ; но онъ подвергается пятилѣтней церковной епитиміи за невоздержаніе. Михаилъ, о которомъ идетъ дѣло,—говорится далѣе въ синодальномъ актѣ,—вполнѣ подходитъ подъ это постановленіе: ему нѣтъ еще 40 лѣтъ и онъ не имѣетъ дѣтей. При томъ же первое его обрученіе нельзя считать за дѣйствительный бракъ, такъ какъ за этимъ обрученіемъ не послѣдовало церковнаго вѣнчанія. Если же кто сошлется на извѣстную новеллу Алексѣя Комнина, въ которой молитва надъ обручаемыми принимается за полное брачное священнословіе, тотъ пусть услышитъ, что бракъ, просимый Михаиломъ при наличности условій, указанныхъ въ приведенномъ постановленіи «тома соединенія», не можетъ быть признанъ запрещеннымъ, если даже и считать въ настоящемъ случаѣ предбрачное церковное обрученіе за полный бракъ. Затѣмъ, въ виду возможныхъ или дѣйствительно высказанныхъ нѣкоторыми членами синода возраженій, что третій бракъ вообще осуждается церковію, что это осужденіе содержится и въ самомъ «томѣ соединенія» и въ особенности въ правилахъ Василія Великаго, назвавшаго третій бракъ «наказаннымъ блудомъ» (κεκολασμένη πορνεία), въ синодѣ прочитаны были два относящіяся къ дѣлу правила названнаго св. отца, именно 4-е и 50-е, на которыя уже имѣлись въ каноническомъ церковномъ кодексѣ толкованія тогоже Вальсамона. По смыслу этихъ правилъ и толкованій, третій бракъ, хотя и осуждается,

---

1) См. подлинникъ этой новеллы у Цахаріэ въ Jus graeco-romanum, pars III, p. 359 и славянскій переводъ—въ Кормчей гл. 43, стат. 2.

какъ нравственная нечистота, и влечетъ за собою церковную епитимію, но не можетъ быть признанъ ничтожнымъ и недѣйствительнымъ. Наконецъ прочитаны были разные гражданскіе законы изъ Базиликъ, говорящіе о третьемъ бракѣ, какъ о дѣлѣ вполнѣ законномъ. На основаніи всѣхъ этихъ церковныхъ правилъ и законовъ въ синодѣ состоялось по дѣлу такое постановленіе: третій бракъ не только не запрещается канонами и законами, но и безпрепятственно (ἀδιαστίκτως) дозволяется. И «томъ соединенія» не подводитъ этотъ бракъ подъ какое либо особенное постановленіе. Что же касается до приведенныхъ двухъ правилъ Василія Великаго, то въ нихъ предписывается только налагать на второбрачныхъ и третьебрачныхъ церковную епитимію, а отсюда само собою слѣдуетъ, что тѣ и другіе браки совершаются канонически, хотя второй подлежитъ меньшей епитиміи, а третій—большей. И кто (изъ духовныхъ іерарховъ) дѣлаетъ не такъ, но второй бракъ допускаетъ, хотя и съ епитиміею, а третій устраняетъ, хотя онъ и не запрещенъ: тотъ вступаетъ въ противорѣчіе съ каноническими законоположеніями и становится какъ бы болѣе рачительнымъ, чѣмъ эти послѣднія, о добродѣтельной и цѣломудренной жизни народа, что̀ нелѣпо. Равнымъ образомъ и приведенная (по Базиликамъ) Юстиніанова новелла, изданная *гораздо позднѣе* изложенныхъ правилъ Василія Великаго, приняла третій бракъ не какъ запрещенный, хотя и подвергла вступающихъ въ такой бракъ нѣкоторому имущественному ущербу. Значитъ, и прежде изданія «тома соединенія» заключившіе третій бракъ не наказывались, какъ виновные въ совершеніи чего либо противузаконнаго, и союзъ ихъ не расторгался, какъ ничтожный и недѣйствительный. Въ тѣ древнія времена законы и божественные каноны не обращали вниманія ни на возрастъ, совершенный или несовершенный, ни на близость старости и избытокъ силъ молодости, ни на то, есть ли у вдовца послѣ втораго брака дѣти, или нѣтъ; напротивъ, третій бракъ дозволялся безразлично, хотя и назывался «скверною» и «нечистотою» (καὶ ταῦτα μῦσος κεκλημένος καὶ ῥύπασμα). А императоръ и отцы собора, издавшіе «томъ соединенія», принявъ во вниманіе всѣ указанныя обстоятельства, впервые установили различіе между дозволенными и запрещенными третьими браками. Бракъ, о которомъ идетъ дѣло, по выше указаннымъ причинамъ, относится къ числу дозволенныхъ, и даже не подлежитъ епитиміи, опредѣленной въ «томѣ соединенія» за третій бракъ, потому что это, какъ выше объяснено, въ сущности не третій бракъ, а второй.

Τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας κυρίου Θεοδώρου τοῦ Βαλσαμῶν, ἔτι χαρτοφύλακος ὄντος, σημείωμα συνοδικὸν γενόμενον ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου κυρίου Χαρίτωνος, χάριν τῶν τριγάμων.

Σύνεσις ἐν πολλῇ βουλῇ, ὁ προφητικώτατος ἔφησε Σολομών [1]). Τῇ γὰρ συνδρομῇ τῶν πολλῶν βουλευμάτων κατατροποῦται μὲν τὸ λανθάνον καὶ ὑποκαθήμενον ἀσύνετον νόημα, ἐκθρώσκει δὲ τὸ συνετὸν κοινοβούλιον, ὡς εἴ τις ὁπλιτοπάλης ἀκοντιστής. Τοῦτο εἰδὼς καὶ ὁ ἱερώτατος μητροπολίτης Ἀθηνῶν Νικόλαος, εἶπε πρὸς τὴν ἡμῶν μετριότητα, σήμερον προκαθημένην συνοδικῶς, ὡς προσγενὴς αὐτοῦ καλούμενος Μιχαὴλ ἔλαβε πρὸ χρόνων τινῶν εὐχὴν μνηστείας μετά τινος γυναικός, μήπω τελεσθείσης καὶ γαμικῆς ἱερολογίας μέσον αὐτῶν, ταύτης μὲν διεζύγη διὰ τὴν τοῦ θανάτου ἀπόφασιν, ἑτέρᾳ δὲ συνεζύγη διὰ τῆς φύσεως τὴν κατέπειξιν. Χρόνου δὲ παραδραμόντος ἑνός, ὁ πάντων ἀφειδὴς πικρώτατος θάνατος ἀωρὶ καὶ ταύτην ἀφήρπασεν. Ἔτι γοῦν νεάζων ὁ Μιχαὴλ καὶ μὴ θέλων ἀντέχεσθαι πρὸς τὰ πάθη τὰ σαρκικά, ζητεῖ γαμετὴν ἑτέραν κατὰ νόμους λαβεῖν καὶ τὰς ἄρκυς τῆς πορνείας φυγεῖν. Τῷ τοι καὶ ἐρωτῶ· εἰ κεκωλυμένος ὁ γάμος οὗτος ἦν; Ἤκουσεν οὖν ἀπὸ τῆς ἡμῶν μετριότητος καὶ τῆς ἱερᾶς τῶν ἀδελφῶν ὁμηγύρεως, ὡς ὁ νεαρὸς τῆς ἑνώσεως τόμος τοῦ ἀοιδίμου βασιλέως κυρίου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, συνοδικῇ διασκέψει γενόμενος κατὰ τὴν ὀγδόην ἰνδικτιῶνα τοῦ ͵ςυκη' ἔτους, καὶ παρὰ παντὸς τοῦ χριστωνύμου λαοῦ μέχρι τοῦ νῦν σεβαζόμενος, κἀντεῦθεν ἐτησίως ἐπ' ἄμβωνος ἀναγινωσκόμενος, ἔλυσεν εὐμαρῶς τὰ διὰ τὸν τρίτον γάμον συμπίπτοντα σκάνδαλα. Καὶ ἡ τούτου πάροδος ἀνάντης οὖσα καὶ δυσχερής, ἐξωμαλίσθη τῇ χάριτι τοῦ Θεοῦ. Φησὶ γὰρ ἐν μέρει ταῦτα ῥητῶς· «ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν προαγωγήν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν, ἐπιτελεῖσθαι αὐτόν· καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὔπω τότε, καθὼς νῦν, γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως, οὐδ' εἰς πλάτος ἐξηπλωμένου, ἀλλ' ὥσπερ εἴ τις ἐν οἴκῳ παραπεπτωκὸς ἐν γωνίᾳ πολλάκις ἴδῃ κείμενον ῥύπασμα [2]). Νῦν δέ,

1) Примѣч. XI, 14. Но Соломонъ говоритъ здѣсь не совсѣмъ то, что Вальсамонъ. Вмѣсто σύνεσις у него стоитъ σωτηρία.

2) Далѣе вставлена въ текстъ слѣдующая схолія:
Ὁ ἅγιος Νικηφόρος πατριάρχης Κωνσταντινουπόλεως ἔτη πέντε ἐπιτιμᾷ τὸν τρίγαμον ἐν κεφαλαίῳ αὐτοῦ λς' ἁπλῶς οὕτω καὶ ἀδιαστάκτως· ὁ δὲ ἁγιώτατος Σισίνιος, τριετίαν. Καὶ ζητεῖ ταῦτα ὄπισθεν ἐν τοῖς κανόσιν αὐτοῦ.

ὅτε χώραν ἔλαβε παρρησίας, καὶ ὡς οὐδὲν ἔχων εἰς ἀσχημοσύνην, οὐδὲ ῥυπαίνων λογίζεται ἐκ τοῦ προβῆναι εἰς πληθυσμὸν, καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτὸν, ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρερριμμένον, ἀλλ' ἐξηπλωμένον ἐπὶ τῆς οἰκίας, οὐδαμῶς ἐῶμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν. Καὶ τῇ ἀνθρωπίνῃ τοίνυν συνυπείκοντες ἀσθενείᾳ, καὶ τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι τῇ τῶν χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν τριγάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴ τις πρὸς τεσσαρακοστὸν ἀναβεβηκὼς ἔτος, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης χριστιανοῖς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐρρίπτοι γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι τετραετίας [1]) ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον· ὃς γὰρ μετὰ τὸ τεσσαρακοστὸν ἔτος [τὸ] ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἶναι καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; Ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως, οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλήψει προσιέναι, ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν, ὅσον δυνατὸν, ἀνακάθαρσιν. Ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἀγαγέσθαι γυναῖκα· ἐπεί, ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία· λίαν γάρ ἐστιν ἄδικον, τὸν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ, τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς, καὶ τὸ ἄλυπον, καὶ ἀτάραχον, καὶ ὅσα οἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς πολυσπόρου τεκνώσεως. Καὶ εἴ τις δὲ τριακονταέτης ὢν καὶ τέκνα ἔχων ἐκ τῶν προλαβόντων γάμων, τρίτῃ γυναικὶ συναλλάττοιτο [2]), καὶ οὗτος ἀσυγχώρητος μέχρι τετάρτου ἔτους, καὶ τῆς κοινωνίας τῶν ἁγιασμάτων ἀμέτοχος ἔσται· ὅτι [3]) δῆλος ἦν [4]), ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ ὑπὸ τῆς ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας, ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. Καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπολαύσεως τούτων· ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσει· δεύτερον δὲ, ἐν τῇ κοιμήσει τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου· καὶ τρί-

---

1) Въ печатныхъ изданіяхъ: πενταετίας.
2) Въ печат. изд. συνάπτοιτο.
3) διότι — тамъ же.
4) ἐστιν.

τον, ἐν τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, διὰ τὸ ἐν ταύταις προηγεῖσθαι νηστείαν καὶ τὸ ἐκ ταύτης ὄφελος. Εἰ δὲ παῖδες μὴ παρείησαν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται»[1]. Εἰ γοῦν ὁ Μιχαὴλ ἄπαις ἐστὶ μέχρι τοῦ νῦν καὶ τὸν τεσσαρακοστὸν οὐχ ὑπερέβη χρόνον, ἀπροκριματίστως τὸν τοιοῦτον συναλλάξει γάμον. Μνηστεία γὰρ καὶ μόνη κατὰ τὸ πρῶτον προέβη συνάλλαγμα, καὶ νομίμου γάμου τελετὴ οὐκ ἐπηκολούθησεν. Εἰ δέ τις εἴποι, ὡς ἡ σήμερον διδομένη τοῖς μνηστευομένοις εὐχή, τελεία γαμικὴ ἱερολογία λογίζεται, κατὰ τὴν προσκυνητὴν νεαρὰν τοῦ ἀοιδίμου ἁγίου βασιλέως κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, τοῦ πάππου τοῦ θεοστεφοῦς ἡμῶν αὐτοκράτορος, ὅτι ταῖς αὐταῖς αἰτίαις καὶ αὕτη λύεται, αἷς καὶ ὁ τέλειος γάμος διασπᾶται, ἀκούσει πάντως, ὡς ἐκ τοῦ διαλειφθέντος νεαροῦ τόμου, κἂν δοίη τις οὕτως ἔχειν τὰ τοῦ πράγματος, ὁ Μιχαὴλ οὐκ ἐμποδισθήσεται καὶ πρὸς τρίτον ἀπιδεῖν συνοικέσιον. Τῆς γὰρ ἀπαιδίας τὰ κλεῖθρα καὶ οἱ μοχλοὶ τὰς τοῦ τρίτου γάμου [θύρας] ἀνέωξαν αὐτῷ, καὶ ἡ ἔτι σφριγῶσα καὶ θερμαινομένη τοῖς φυσικοῖς ἀρρωστήμασιν ἡλικία αὐτοῦ τὰς ἐκ τοῦ τοιούτου γάμου σταγῶνας μετακαλεῖται πρὸς συμπάθειαν. Ἐπεὶ δὲ καὶ τινῶν ἡ μετριότης ἡμῶν ἀκηκόει λεγόντων, μακρὸν ἤδη χρόνον παρελθεῖν, καὶ τὸν τρίτον γάμον μηδόλως ἐκχωρηθῆναι παρὰ τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας καὶ τῶν λοιπῶν ἁγιωτάτων ἐκκλησιῶν, καὶ ταῦτα τοῦ ῥηθέντος τόμου οἰκειουμένου παρὰ πασῶν τῶν ἐκκλησιῶν καὶ ἀναγινωσκομένου ἐτησίως ἐπ' ἄμβωνος, καθὼς ἄνωθεν εἴρηται, καὶ τὸ αἴτιον τούτου μεμαθήκαμεν εἶναι μηδέν τι ἕτερον, ἀλλ' ἢ τὸ τὸν μέγαν ἐν ἀρχιερεῦσι Βασίλειον ἔν τισι τῶν κανόνων αὐτοῦ κεκολασμένην πορνείαν ὀνομάσαι τὸν τρίτον γάμον καὶ ῥύπασμα, καὶ ἐπιτιμίοις τοῦτον καθυποβαλεῖν, ὥρισε καὶ τοὺς τοιούτους κανόνας ἀναγνωσθῆναι ἐπὶ κοινοῦ, πρὸς δέ, καὶ τοὺς νόμους τοὺς τὰ περὶ τοῦ τρίτου γάμου θεσπίζοντας, ἵνα καὶ τὸ ἐκ τούτων αὐτῇ παριστάμενον συνοδικῶς ἀποφήνεται. Ἀναγνωσθέντων οὖν τῶν τοῦ ῥηθέντος ἁγίου πατρὸς διττῶν κανόνων, ἤτοι[2]) τοῦ τετάρτου τοῦ διαλαμβάνοντος οὕτω ῥητῶς· «Περὶ τριγάμων καὶ πολυγάμων τὸν αὐτὸν ὡρίσαμεν κανόνα, ὃν καὶ ἐπὶ τῶν διγάμων ἀναλόγως· ἐνιαυτὸν μὲν γὰρ ἐπὶ τῶν διγάμων, ἄλλοι δὲ δύο ἔτη· τοὺς δὲ τριγάμους ἐν τρισὶ καὶ τέσσαρσι πολλάκις ἔτεσιν ἀφορίζουσιν. Ὀνομάζουσι δὲ τὸ τοιοῦ-

---

1) См. Σύντ. V, 6—8. Далѣе въ текстъ внесено съ поля оригинала рукописи: Σημειῶσαι.

2) Ркп. здѣсь и далѣе ἤως. Поправлено по смыслу, такъ какъ отъ писца 1687 года трудно ожидать правильной передачи правописанія подлинника.

τον οὐκ ἔτι γάμον, ἀλλὰ πολυγαμίαν, μᾶλλον δὲ πορνείαν κεκολασμένην. Διὸ καὶ ὁ Κύριος τῇ Σαμαρείτιδι πέντε ἄνδρας διαμειψάσῃ, ὃν νῦν, φησίν, ἔχεις, οὐκ ἔστιν ἀνὴρ, ὡς οὐκέτι ἀξίων ὄντων τῶν ὑπερεκπεσόντων τοῦ μέτρου τῆς διγαμίας, τῷ τοῦ ἀνδρὸς, ἢ τῆς γυναικὸς, καλεῖσθαι προσρήματι. Συνήθειαν δὲ κατελάβομεν ἐπὶ τῶν τριγάμων πενταετίας ἀφορισμὸν, οὐκ ἀπὸ κανόνος, ἀλλ' ἀπὸ τῆς προειληφότων ἀκολουθίας. Δεῖ δὲ μὴ πάντῃ αὐτοὺς ἀπείργειν τῆς ἐκκλησίας, ἀλλ' ἀκροάσεως αὐτοὺς ἀξιοῦν ἐν δύο που ἔτεσιν ἢ τρισὶ, καὶ μετὰ ταῦτα ἐπιτρέπειν συστήκειν μὲν, τῆς δὲ κοινωνίας τοῦ ἀγαθοῦ ἀπεχέσθαι, καὶ οὕτως ἐπιδεξαμένους καρπόν τινα μετανοίας, ἀποκαθιστᾷν τῷ τόπῳ τῆς κοινωοίας». Πρὸς δὲ, καὶ τοῦ πεντηκοστοῦ οὕτω διεξιόντος· «Τριγαμίας νόμος οὐκ ἔστιν, ὥστε νόμῳ τρίτος γάμος οὐκ ἄγεται. Τὰ μέντοι τοιαῦτα, ὡς ῥυπάσματα τῆς ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα». Ὡσαύτως ἀναγνωσθέντων καὶ νόμων διαφόρων, ἤτοι [1]) τοῦ ς' θεσπίσματος ξγ' κεφαλαίου τοῦ η' τίτλου τοῦ νγ' βιβλίου τῶν βασιλικῶν οὕτως ἔχοντος· «Γυνὴ μετὰ διαζύγιον μέρος ἀπαιτήσασα τῆς προικὸς, καὶ ἑτέρῳ συναφθεῖσα καὶ χηρεύσασα πάλιν πρὸς τὸν πρῶτον ὑπέστρεψε, καὶ προῖκα παρασχομένη αὐτῷ μνήμην τῆς προτέρας οὐκ ἐποιήσατο λοιπάδος· δοκεῖ τῆς δευτέρας γενέσθαι προικὸς, καὶ μετὰ ἐνιαυτὸν τῆς λύσεως τοῦ δευτέρου γάμου ἀποδίδοται αὐτῇ» [2]). Καὶ τῆς χβ' [3]) Ἰουστινιανείου νεαρᾶς τῆς κειμένης ἐν τίτλῳ ιδ' τοῦ αὐτοῦ βιβλίου, καὶ ταῦτα ἐν διαφόροις περικοπαῖς θεσπιζούσης· [4]). «Ἄριστα δὲ ἡμῖν Λέων. ὁ τῆς θείας λήξεως δοκεῖ σκέψασθαι τὰ περὶ τῶν ἐπιδόσεων, ὧν εἰς τὰ δεύτερα ποιοῦνται συνοικέσια οἱ ταῦτα συμβάλλοντες· φησὶ γὰρ, ὡς εἴπερ ἐκ τοῦ προτέρου γάμου παῖδας ἔχοιεν οἱ γονεῖς, εἶτα εἰς δεύτερον, ἢ ἐφεξῆς χωροῖεν συνοικέσιον, οὐ δύνανται οὔτε εἰς τὴν μητρυίαν οἱ πατέρες, οὔτε εἰς τὸν πατρῷον αἱ μητέρες, κατὰ τὸν τῆς ζωῆς χρόνον, τὴν οἱανοῦν ποιεῖσθαι φιλοτιμίαν, ἢ ἐν τῇ τελευτῇ τι καταλιμπάνειν, πλὴν ἢ τοσοῦτον, ὅσον εἰς παῖς ἢ θυγάτηρ, μόνος [ὢν] ἐκ τοῦ φύσαντος ἔχει» [5]). Καὶ πάλιν· «ἐξ ὁλοκλήρου δὲ οἱ ἐκ τῶν δευτέρων φύντες σπερμάτων τῆς παρ' ἐκείνου γενομένης ἀπολαύουσι φιλοτιμίας, κἂν μὴ πρὸς τρίτον ἐκείνη συνοικέσιον ἦλθε». Καὶ πάλιν· «καὶ ὅλως τῶν πρώτων παίδων διὰ τὴν δευτερογαμίαν λαβόντων, οἱ δεύτεροι πάντως αὐτὴν ἐχέτωσαν, κἂν εἰ μὴ τρίτοις ὡμίλη-

---

1) Поправлено изъ ἤως (см. предыд. примѣч.).

2) По изданію Геймбаха, это — lib. XXVIII, tit. VIII, cap. 63. § 5 (tom. III, p. 290).

3) Въ рукописи ρχβ'.

4) Въ рукописи θεσπιζούσαις.

5) Justiniani novella 22, cap. 27. Cp. Basilic. lib. XXVIII, tit. (14 ibid. p. 326).

σεν ἡ δευτερογαμήσασα γαμοις»[1]), διεγνώσθη παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς ἱερᾶς τῶν ἀδελφῶν ὁμηγύρεως, μήτε παρὰ τῶν παλαιῶν νόμων, τῶν διγέστων δηλαδὴ, μήτε παρὰ τῶν θείων κανόνων τοῦ ῥηθέντος ἁγίου πατρὸς ἡμῶν τοῦ μεγάλου Βασιλείου, μήτε μὴν παρὰ τῶν νεαρῶν θεσπισμάτων τοῦ ἀοιδίμου βασιλέως τοῦ Ἰουστινιανοῦ, τὸν τρίτον γάμον κωλύεσθαι, μᾶλλον μὲν οὖν καὶ ἐπιτρέπεσθαι ἀδιαστίκτως. Καὶ οὐχ ὥσπερ ὁ τῆς ἑνώσεως τόμος ὑπό τινα τεταγμένην διάταξιν αὐτὸν ἐξεχώρησεν· ἐπεὶ γὰρ οἱ τοῦ θείου πατρὸς διττοὶ κανόνες παρακελεύονται καὶ τὴν διγαμίαν ἐπιτιμᾶσθαι, καὶ τὴν τριγαμίαν ὡσαύτως μὴ εἶναι ἀνεπιτίμητον, πάντως οἱ γάμοι καὶ ἄμφω κανονικῶς τελεσθήσονται, κἂν ὁ μὲν, ὁ δεύτερος δηλαδὴ, ὀλίγοις ἐπιτιμίοις καθυποβάλλεται, ὁ τρίτος δὲ, πλείοσι. Καὶ ὁ μὴ οὕτω ποιῶν, ἀλλὰ τὸν μὲν, τὸν δεύτερον, καὶ ταῦτα ἐπιτιμώμενον, ἐκχωρῶν, τὸν δὲ τρίτον κωλύων, μὴ κωλυόμενον, ἀλλ' ἐπιτιμώμενον, κανονικοῖς ἀντιπίπτει θεσπίσμασι, καὶ γίνεται τούτων, ὅσον τὰ πρὸς ἀρετὴν καὶ σωφροσύνην λαοῦ, σπουδαιότερος[2]), ὅπερ ἄτοπον. Ἀλλὰ καὶ ἡ ῥηθεῖσα Ἰουστινιάνειος νεαρὰ μεταγενεστέρα οὖσα κατὰ πολὺ τῶν διαλειφθέντων κανονικῶν θεσπισμάτων, τὸν μὲν τρίτον γάμον ὡς μὴ κωλυόμενον παρεδέξατο, χρηματικῇ δὲ ζημίᾳ καθυποβάλλεσθαι διωρίσατο τοὺς τὸ τοιοῦτον συναλλάξαντας συνοικέσιον· τοίνυν καὶ πρὸ τοῦ νεαροῦ τούτου τῆς ἑνώσεως τόμου οἱ τρίτον συναλλάξαντες γάμον, οὐχ ὡς ἄθεσμόν τι ποιήσαντες καὶ παράνομον ἐκολάζοντο, οὐδὲ διασπᾶτο τὸ συνοικέσιον, ὡς ἀσύστατόν τε καὶ ἀνυπόστατον· ἀλλ' ὁ μὲν πολιτικὸς νόμος χρηματικῇ ζημίᾳ τοὺς συμβάλλοντας ὑπεδίκαζεν, ὁ δὲ τῆς ἐκκλησίας θεσμὸς κανονικοῖς προσκαίροις ἐπιτιμίοις ὑπέβαλλε. Καὶ χρόνος ἡλικίας τελειοτέρας καὶ ἀτελοῦς, καὶ γήρως ἐγγύτης, καὶ δυναστεία νεότητος, καὶ γνησίων παίδων διαδοχὴ καὶ στέρησις, οὔτε παρὰ τοῖς παλαιοτέροις νόμοις, οὔτε παρὰ τοῖς θείοις κανόσι συνεζητεῖτο καὶ διεκρίνετο, ἀλλ' ἦν ἀδιαφόρως ὁ τρίτος γάμος διαπραττόμενος, καὶ ταῦτα μῦσος κεχλημένος καὶ ῥύπασμα. Ὁ δὲ τὸ νεαρὸν τοῦτο θέσπισμα ἐκθέμενος ἀοίδιμος βασιλεὺς καὶ οἱ τηνικαῦτα συνελθόντες πατέρες συνοδικῶς, τούτων πάντων ἐν καταλήψει ἀκριβεῖ γεγονότες, καὶ μήτε τὸ ἀδιάφορον ἐπαινέσαντες, ὡς ἀκολασίαν μεθέλκον ἀσύγγνωστον, μήτε τὴν τῆς φύσεως ἀνάγκην καὶ τὴν ἐκ τῆς νεωτέρας ἡλικίας κατέπειξιν ἀποπεμψάμενοι διὰ τὸ μείζονα πολλάκις κακὰ ἐκ τῆς ἀναστροφῆς ἀναφύεσθαι, ὥρισε ποτὲ μὲν κεκωλυμένον εἶναι τὸν τρίτον γάμον καὶ πάντῃ ἀσύγγνωστον, καὶ διὰ τοῦτο καὶ διασπώμενον, ὅτε δηλονότι ὁ τεσσαρακοέ-

---

1) Novella cit., cap. 29. Basilic. l. c. (p. 328).
2) Ркп. σπουδαιότερον.

της τὴν ἡλικίαν ὢν καὶ ἐξ ἑτέρων γάμων ἔχων παῖδας, καὶ τρίτον γάμον ἐξ ἀκολασίας ἄκρας προέληται· ποτὲ δὲ ἐγκεχωρημένον εἶναι τοῦτον ἐθέσπισαν, εἰς δύο διελόντες τοὺς βουλομένους αὐτὸν ἐφεξῆς διαπράττεσθαι· τοὺς μὲν γὰρ διγαμήσαντας τριακονταετεῖς καὶ ἐξ ἀμφοτέρων τῶν γάμων ἀπαιδίαν κατακριθέντας, ἀπροκριματίστως καὶ τὸν τρίτον γάμον συναλλάττειν ἐκέλευσαν, «μόνῳ τῷ ἐξ ἀρχῆς, φησί, καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθῆναι ὀφείλοντας»· τοὺς δὲ τεσσαρακονταετεῖς ὄντας ἡλικίας καὶ ἐκ τῶν προτέρων διττῶν γάμων παίδων πατέρας μὴ χρηματίσαντας, μετ' ἐπιτιμίων πολλῶν καὶ τρίτον γάμον συναλλάττειν ἐθέσπισαν. Ὅθεν καὶ ἡ μετριότης ἡμῶν προσχοῦσα μετὰ τῆς ἱερᾶς ἀδελφότητος τῷ τοιούτῳ νεαρῷ τόμῳ, ἄριστα τὰ περὶ τοῦ τρίτου γάμου διέλοντι καὶ διευκρινήσαντι, καὶ στοιχήσασα πᾶσι τοῖς ἐν αὐτῷ περιεχομένοις, ὥρισε συνοδικῶς, κατὰ τὴν τούτου περίληψιν, τὰ τοῦ τρίτου γάμου τελεῖσθαι ἀπροκριματίστως εἰς τὸ ἑξῆς, καὶ τὰς παραβάτας αὐτοῦ τοῖς ἐκ τούτου ἐπιτιμίοις καθυποβάλλεσθαι. Ὁ γοῦν Μιχαὴλ μὴ ὑπερβὰς τὸν τεσσαρακονταετῆ ἐνιαυτόν, μὴ παίδων πατὴρ μέχρι τοῦ νῦν γεγονώς, μήτ' αὖ διττὰς ἱερολογίας λαβών, ὡς ταῦτα πάντα τῇ ἡμῶν ἀνηνέχθησαν μετριότητι, πάμπαν ἔσται ἀπροκριμάτιστος· οὐδὲ γὰρ ἐπιτιμίῳ τινι καθυποβληθήσεται, διὰ τὸ μηδὲ γάμους πρότερον συναλλάξαι διττούς, ἀλλὰ γάμον καὶ μνηστείαν ἐπὶ τούτου τοῦ φάκτου μὴ ἐκλαμβανομένην ἀντὶ γάμου, καθὼς τοῦτο προωρίσθη καὶ ἄνωθεν.

**А. Павловъ.**